τρεῖς καὶ ἀποκριθήσομαι. πανοῦργος δὲ ὢν ὁ Αἴσωπος.
τυποῦται συγγραφὴν δανείου τοιαύτην, τόν τε Νεκτεναβὼ
δεδανεισμένον εἶναι παρὰ Λυκούργου τάλαντα χίλια, προσθεὶς
χρόνον τὸν παρεληλυθότα. μετὰ δὲ τρεῖς ἡμέρας ἦλ-
θεν Αἴσωπος καὶ εὗρε τὸν Νεκτεναβὼ μετὰ τῶν φίλων
ἐκδεχόμενον Αἴσωπον. εἰσελθὼν δὲ Αἴσωπος ἐπέ-
δωκε τὸ χαρτίον. οἱ δέ, πρὸ τοῦ τὴν δύναμιν διαγνῶ-
ναι, ἔφασαν τοῦτο ἐπίστασθαι. ὁ δὲ Αἴσωπος ἔφη,
χάριν ἔχω. ἡ γὰρ προθεσμία τῆς ἀποδόσεως παρῆλ- γράφεται ἡ γὰρ προθέ-σμου.
θεν ἀναγνοὺς δὲ τὴν ὁμολογίαν ὁ Νεκτενεβὼ εἶπεν, ἐ-
μοῦ μηδὲν χρεωστοῦντος Λυκούργῳ. ὑμεῖς μαρτυρεῖτε. οἱ
δὲ εἶπον οὔτε ἴδομεν οὔτε ἠκούσαμεν. εἶπεν οὖν πρὸς αὐ-
τοὺς ὁ Αἴσωπος, εἰ ταῦτα οὕτως δοκεῖ λέλυται τὸ ζή-
τημα